
ρα ἐστὶν ἡ ΒΗ τῇ Θ μήκει. καὶ δύναται ἡ ΗΒ τῆς ΗΓ μεῖ-
ζον τῷ ἀπὸ τῆς Θ. ἡ ΗΒ ἄρα τῆς ΗΓ μεῖζον δύναται
τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καί ἐστιν ἡ προσαρ-
μόζουσα ἡ ΓΗ
σύμμετρος τῇ
ἐκκειμένῃ ῥη-
τῇ τῇ Α μήκει.
ἡ ἄρα ΒΓ ἀπο-
τομή ἐστι πρώ-
τη. εὕρηται
ἄρα ἡ πρώτη
ἀποτομὴ ἡ ΒΓ :-



πϛ' Εὑρεῖν τὴν δευτέραν ἀποτομήν. συγκείσθω ῥητὴ ἡ Α καὶ
τρεῖς ἀριθμοὶ οἱ Ε, ΒΓ, ΓΔ λόγον μὴ ἔχοντες πρὸς ἀλλή-
λους ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀ-
ριθμόν· ἔτι δὲ καὶ ὁ ΓΒ πρὸς ΒΔ λόγον μὴ ἐχέτω ὃν
τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· καὶ
πεποιήσθω ὡς μὲν ὁ Ε πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ
τῆς Α πρὸς τὸ ἀπὸ τῆς ΖΗ· ὡς δὲ ὁ ΒΓ πρὸς ΓΔ, οὕ-
τως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ. ἐπεὶ οὖν
ἐστιν ὡς ὁ Ε πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς Α πρὸς
τὸ ἀπὸ τῆς ΖΗ· σύμμετρον ἄρα τὸ ἀπὸ τῆς Α τῷ ἀ-
πὸ τῆς ΖΗ· ῥητὸν δὲ τὸ ἀπὸ τῆς Α· ῥητὸν ἄρα καὶ
τὸ ἀπὸ τῆς ΖΗ· ῥητὴ ἄρα ἐστὶ καὶ ἡ ΖΗ. καὶ ἐπεὶ ὁ Ε
πρὸς τὸν ΒΓ λόγον οὐκ ἔχει ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν. οὐδ' ἄρα τὸ ἀπὸ τῆς Α

πρὸς τὸ ἀπὸ τῆς ΖΗ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς
πρὸς τετράγωνον ἀριθμόν· ἀσύμμετρος ἄρα ἐστὶν ἡ Α
τῇ ΖΗ μήκει. πάλιν ἐπεί ἐστιν ὡς ὁ ΒΓ πρὸς τὴν ΓΔ,
οὕτως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ· σύμμε-
τρον ἄρα τὸ ἀπὸ τῆς ΖΗ τῷ ἀπὸ τῆς ΗΘ· ῥητὸν δὲ
τὸ ἀπὸ τῆς ΖΗ· ῥητὸν ἄρα καὶ τὸ ἀπὸ τῆς ΗΘ· ῥητὴ
ἄρα καὶ ἡ ΗΘ. καὶ ἐπεὶ ὁ ΒΓ πρὸς τὸν ΓΔ λόγον οὐκ ἔχει ὃν,
τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν. οὐ-
δ' ἄρα τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ λόγον ἔχει
ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν·
ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΖΗ τῇ ΗΘ μήκει. καί εἰσιν ἀμφό-
τεραι ῥηταί· αἱ ΖΗ, ΗΘ ἄρα ῥηταί εἰσι δυνάμει μόνον σύμ-
μετροι· ἡ ἄρα ΖΘ ἀποτομή ἐστι. λέγω δὴ ὅτι καὶ δευτέρα.
ἐπεὶ γάρ ἐστιν ὡς μὲν ὁ Ε πρὸς τὸν ΒΓ, οὕτως τὸ ἀπὸ τῆς
Α πρὸς τὸ ἀπὸ τῆς ΖΗ· ὡς δὲ ὁ ΒΓ πρὸς τὸν ΓΔ, οὕ-
τως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ· δι' ἴσου ἄ-
ρα ἐστὶν ὡς ὁ Ε πρὸς τὸν ΓΔ, οὕτως τὸ ἀπὸ τῆς Α
πρὸς τὸ ἀπὸ τῆς ΗΘ· ὁ δὲ Ε πρὸς τὸν ΓΔ λόγον οὐκ ἔ-
χει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν· οὐδ' ἄρα τὸ ἀπὸ τῆς Α πρὸς τὸ ἀπὸ τῆς ΗΘ λόγον ἔχει ὃν τετράγωνος ἀριθμὸς πρὸς τετράγωνον ἀριθμόν·
ἀσύμμετρος ἄρα ἐστὶν ἡ Α τῇ ΗΘ μήκει· καὶ οὐδετέρα
τῶν ΖΗ, ΗΘ σύμμετρός ἐστι τῇ Α ῥητῇ μήκει. ᾧ οὖν
μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ΖΗ τοῦ ἀπὸ τῆς ΗΘ, ἔστω τὸ
ἀπὸ τῆς Κ. ἐπεὶ οὖν ἐστιν ὡς ὁ ΒΓ πρὸς τὸν ΓΔ, οὕ-
τως τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς ΗΘ· ἀνα-
στρέψαντι ἄρα ἐστὶν ὡς ὁ ΒΓ πρὸς τὸν ΒΔ, οὕτως
τὸ ἀπὸ τῆς ΖΗ πρὸς τὸ ἀπὸ τῆς Κ· ὁ δὲ ΓΒ πρὸς

